## Ἱκετηρίον

Χριστὲ φάος μερόπων, πυρόεν στύλε Γρηγορίοιο
ψυχῇ πλαζομένῃ πικρῆς βιότου δι’ ἐρήμης,
σχὲς Φαραὼ κακόμητιν, ἀναιδέας ἐργοδιώκτας·
καὶ πηλοῦ μ’ ἀδέτοιο καὶ αἰγύπτοιο βαρείης
ἐξερύσαις, πληγῇσιν ἀεικελίῃσι δαμάσσας
δυσμενέας, λείην δὲ πόροις ὁδόν. ἥν δε κίχῃσιν
ἐχθρὸς ἐπισπέρχων, σὺ δέ μοι καὶ πόντον ἐρυθρὸν
τμήξειας, στερεὴν δὲ διεκπεράοιμι θάλασσαν,
σπεύδων ἐς χθόνα δῖαν ἐμὸν λάχος ὥσπερ ὑπέστης·
καὶ ποταμοὺς στήσειας ἀπείρονας, ἀλλοφύλων τε
κλίναις θούριον ἔγχος ἀγάστονον. Εἰ δ’ ἐπιβαίην
γῆς ἱερῆς, μέλψω σε διηνεκέεσσιν ἐν ὑμνοις.

tit. ἱκετήριος Mq : ἱκετηρία ἄλλη (22a) πρὸς χριστον ἱκετηρία (22b) Pc : om. L, La, Lb 1 πυρόει L La Lb Mq Pc 3 φθαραῶ La 5 πληγῇσι Pc : δαμάσας La 8 θάλατταν Mq 9 δῖαν Lb : θείαν L La Mq Pc 12 ἱερίης La

Χριστὲ ἄναξ, τί με σαρκὸς ἐν ἄρκυσι ταῖσδ’ ἐνέδησας;
Τίπτε βίῳ κρυόεντι καὶ ἰλυόεντι βερέθρῳ,
Εἰ ἐτεόν θεός εἰμι, λάχος δὲ σὸν ὥσπερ ἄκουσα;
ἐκ μέν μοι μελέων σθένος ὤλετο, οὐ δέ τι γοῦνα
ἕσπεται· ἀλλά μ’ ἔλυσε χρόνος καὶ νοῦσος ἀνιγρὴ,
τηκεδανή τε μέριμνα, φίλοι τ’ ἄφιλα φρονέοντες.
εἴκειν δ’ οὐκ ἐθέλουσιν ἁμάρταδες, ἀλλ’ ἔτι μᾶλλον
στείβουσ’ ἀδρανέοντα, κύνες δ’ὡς πτῶκα λαγωόν,
ἢ κεμάδ' ἀμφὶς ἔχουσι λιλαιόμενοι κορέσασθαι.
ἢ στῆσον κακότητα καὶ ἵλαθι, ἤ μ’ ὑπόδεξαι
δηρὸν ἀεθλεύοντα, καὶ ἄλγεσι μέτρον ἐπέστω,
ἢ λήθης νέφος ἐσθλὸν ἐμὰς φρένας ἀμφικαλύπτοι.

13 ἄρκυσιν La ταῖσδε La 16 ὤχετο La 18 φίλι Pc 19 δ’ om. L 20 στίβουσ' La Pc 21 οἵ \ἣ/ La 22 τὴν κακότητα add. Pc 23 ἀεθλεύσαντα La Pc ἄλγεσιν La ἐπέσθω La Pc